www.tezaurliturgic.ro

ΑΣΜΑΤΙΚΗ ΑΚΟΛΟΥΘΙΑ

ΤΟΥ ΑΓΙΟΥ ΕΝΔΟΞΟΥ ΙΕΡΟΜΑΡΤΥΡΟΣ

ΑΣΤΙΟΥ

Ἐπισκόπου Δυρραχίου

συνταχθεῖσα ὑπὸ τοῦ Μητροπολίτου

Δυρραχίου, Γκοραμόκρας καὶ Σπαθίας

Ἰακώβου (Μοσχονησίου)

καὶ ἐγκριθεῖσα

ὑπὸ τῆς Μεγάλης τοῦ Χριστοῦ Ἐκκλησίας

ἐκτυποῦται δαπάναις

τοῦ

ἐντιμοτάτου ΜΙΧΑΗΛ ΘΩΜΑ ΤΡΟΥΪΑ

ἐκ τῶν προκρίτων Δυρραχίου.

ΕΝ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΙ

Τύποις Μακρίδου · Ἀλευροπούλου, Γαλατᾶ.

1918

www.tezaurliturgic.ro

Ἀριθ. Πρωτ.
1101.

† ΓΕΡΜΑΝΟΣ

ἐλέῳ Θεοῦ Ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως Νέας Ρώμης καὶ Οἰκουμενικὸς Πατριάρχης.

Ἱερώτατε Μητροπολῖτα Δυρραχίου κλπ. κύριε Ἰάκωβε, χάρις εἴη τῇ Αὐτῇ Ἱερότητι καὶ εἰρήνη παρὰ Θεοῦ.

Ἐγκριθείσης, προτάσει τῆς Π. Κ. Ἐκκλησιαστικῆς Ἐπιτροπῆς καὶ ἀποφάσει Συνοδικῇ τῆς ὑπὸ τῆς Ἱερότητος Αὐτῆς συνταχθείσης καὶ ὑποβληθείσης «Ἀσματικῆς Ἀκολουθίας τοῦ ἐν Ἁγίοις πατρὸς ἡμῶν Ἀστίου ἱερομάρτυρος, Ἐπισκόπου Δυρραχίου, ἀσμένως ἀνακοινοῦται τοῦτο διὰ τοῦ παρόντος πατριαρχικοῦ ἡμῶν πιττακίου, διαβιβαζομένου ἅμα καὶ ἀντιγράφου τῆς σχετικῆς ἐκθέσεως τῆς Π. Κ. Ἐκκλησιαστικῆς Ἐπιτροπῆς. Ἡ δὲ τοῦ Θεοῦ χάρις καὶ τὸ ἄπειρον ἔλεος εἴη μετὰ τῆς Ἱερότητος Αὐτῆς.

1918 Ἰουλίου 30.

† *Ὁ Κωνσταντινουπόλεως ἐν Χριστῷ ἀγαπητὸς ἀδελφός*

www.tezaurliturgic.ro

Παναγιώτατε Δέσποτα,

Ἡ Π. Κ. Ἐκκλησιαστικὴ Ἐπιτροπή, λαβοῦσα ὑπ' ὄψιν τὴν ὑπὸ τῆς Ἁγίας καὶ Ἱερᾶς Συνόδου παραπεμφθεῖσαν εἰς αὐτὴν πρὸς μελέτην καὶ γνωμοδότησιν «Ἀσματικὴν ἀκολουθίαν τοῦ ἁγ. ἐνδόξου Ἱερομάρτυρος Ἀστίου Ἐπισκόπου Δυρραχίου», συνταχθεῖσαν ὑπὸ τοῦ Πανιερωτάτου Μητροπολίτου τῆς ἐκκλησιαστικῆς ταύτης διοικήσεως κ. Ἰακώβου, διεξῆλθεν αὐτὴν ἐπανειλημμένως καὶ ἐπισταμένως, εὗρε δὲ αὐτὴν εὖ καὶ καλῶς ἔχουσαν ἀπὸ πάσης ἀπόψεως. Ὁ συγγραφεὺς ἐξύφανε τὴν ἀκολουθίαν τοῦ Ἑσπερινοῦ καὶ τὸν κανόνα τοῦ Ὄρθρου καὶ τὰ ἄλλα ἱερὰ ἄσματα οὔτε τῆς δογματικῆς αὐστηρᾶς διδασκαλίας ἐπιλαθόμενος, εἴ που ἔτυχεν ἀνάγκη, οὔτε τῆς ἐν τῇ ψαλμῳδίᾳ καὶ τῷ ῥυθμῷ ἁρμονίας.

Ταῦτα ὑποβάλλουσα εὐλαβῶς κλπ.

Ἐν τοῖς Πατριαρχείοις τῇ 26 Ἰουνίου 1918.

Ὁ πρόεδρος
† *Ὁ Καλλιουπόλεως καὶ Μαδύτου Κωνσταντῖνος*

Ὁ γραμματεὺς
Ὁ τριτεύων Θωμᾶς

Σημ. — Ἡ Π. Κ. Ἐκκλησιαστικὴ Ἐπιτροπὴ πρὶν ἢ ἀποφανθῇ εἶχε καταρτίσῃ εἰδικὴν ἐπιτροπὴν ἐκ τοῦ Προέδρου αὐτῆς Μητροπολίτου Καλλιουπόλεως, τοῦ Μεγάλου Ἀρχιδιακόνου κ. Γεωργίου, τοῦ ἄρχοντος Μ. Χαρτοφύλακος καὶ Χρονογράφου τῆς Μ. Ἐκκλησίας κ. Μ. Γεδεὼν καὶ τοῦ γραμματέως τοῦ Μ. Συμβουλίου καὶ εἰδικοῦ περὶ τὰ τοιαῦτα κ. Μάρκου Βασιλείου, ἥτις μετὰ μελέτην ὑπέβαλε τὴν σχετικὴν αὐτῆς ἔκθεσιν ἐπὶ τῇ βάσει τῆς ὁποίας καὶ μετὰ ἰδίαν μελέτην ἐπίσης ἀπεφάνθη ἡ Π. Κεντρικὴ Ἐκκλησιαστικὴ Ἐπιτροπή.

ΠΡΟΛΟΓΟΣ

Εὐσεβεῖ παραδόσει στοιχοῦσαι οἱ κατὰ τόπους ἁγιώταται τοῦ Χριστοῦ Ἐκκλησίαι, καὶ μείζονα τὴν εὐγνωμοσύνην ἐπιδεικνύμεναι, εἰκότως ἰδιαιτέρας ἀείποτε προσαπονέμουσι τιμὰς πᾶσι τοῖς Ἁγίοις, ὅσοι, τῷ μαρτυρικῷ στεφάνῳ καταγλαϊσθέντες, τοῖς αἵμασιν αὐτῶν κατεφοίνιξαν τὴν τῶν Ἐκκλησιῶν τούτων γόνιμον γῆν. Τὰς μνήμας δὲ αὐτῶν πόθῳ γεραίουσαι καὶ τιμῶσαι πανηγυρικὰς ἐπ' αὐταῖς λειτουργίας εἰώθασιν ἐπιτελεῖν.

Ἀλλ' ἡ παλαίγονος καὶ ἱστορικὴ Ἐκκλησία Δυρραχίου, ἴσως οὐκ ἀπ' ἀρχῆς, ἐν τοῖς ἐσχάτοις ὅμως τούτοις καιροῖς καὶ χρόνοις ἐπελάθετο ἀσυγγνώστως τῆς τοιαύτης ἱερᾶς ὀφειλῆς ἐν τῇ ἐπιτελέσει τοῦ εἰρημένου καθήκοντος.

Τὴν ἔλλειψιν δὲ ταύτην κατιδόντες καὶ τὴν αὐτῆς ἀναπλήρωσιν ἐπιποθοῦντες, ἐπεδόθημεν σπουδῇ εὐθὺς ἀπ' ἀρχῆς εἰς τὴν καθιέρωσιν πανηγυρικῆς ἑορτῆς ἐπὶ τῇ μνήμῃ τοῦ κατὰ τὸν πρῶτον αἰῶνα (98) εὐθαρσῶς ἐν γήρᾳ πίονι μαρτυρήσαντος Ἀστίου (Ἀστείου), ἐπισκόπου Δυρραχίου.

Καὶ πρώτιστα πάντων ἐνετειλάμεθα τοῖς τῆς πόλεως ἱερεῦσι καλέσαι τῷ ὀνόματι τούτῳ ἐπὶ μῆνας ἅπαντα τὰ νεοφώτιστα ἄρρενα. Ναὸν δ' ἠρξάμεθα οἰκοδομεῖν ἐν τῷ ἡμίωρον ἀπὸ Δυρραχίου ἀπέχοντι χωρίῳ Σπιταλίῳ, καὶ εἰκόνας τοῦ τε ἁγίου Ἀστίου καὶ τοῦ πρώτου ἐπισκόπου Δυρραχίου, κατὰ παράδοσιν, Καίσαρος τοῦ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΦΩΤΟΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

www.tezaurliturgic.ro

Ἀποστόλου ἐν τῷ τοῦ ἁγίου Γεωργίου ἱερῷ ναῷ προσεκομίσαμεν. Ἀλλά γε σὺν πᾶσι τούτοις ἔδει μεριμνῆσαι καὶ περὶ τὸν καταρτισμὸν Ἀσματικῆς Ἀκολουθίας τῆς ἐν λόγῳ ἑορτῆς, κἀντεῦθεν ὁρμηθέντες προέβημεν εἰς τὴν σύνταξιν τῆς μετὰ χεῖρας ἱερᾶς Ἀκολουθίας, ἀτελοῦς ἴσως ἐν πολλοῖς, ἣν καὶ ἀφιεροῦμεν τῷ εὐσεβεῖ πληρώματι τῆς καθ' ἡμᾶς θεοσώστου Ἐπαρχίας, ἰδίᾳ δὲ τοῖς φιλεόρτοις χριστιανοῖς Δυρραχίου καὶ πατρικῶς προτρεπόμεθα αὐτούς, ἵνα μεμνημένοι τοῦ σταυρικοῦ θανάτου τοῦ γηραιοῦ Ἐπισκόπου καὶ ἱερομάρτυρος Ἀστίου καὶ τῆς ὑψίστης τιμῆς, ἧς ἐπὶ τούτῳ ἠξίωται ἡ πόλις καὶ δι' αὐτῆς σύμπασα ἡ Ἐπαρχία Δυρραχίου, ἐπιτελῶσιν ἑκάστοτε εὐσεβοφρόνως καὶ πανηγυρικῶς, ὡς ἀπὸ τοῦ πρώτου ἔτους τῆς ἀρχιερατείας ἡμῶν (1911) τελεῖται, τὴν ἐτήσιον μνήμην Αὐτοῦ, δοξάζοντες καὶ μεγαλύνοντες τὸν ἐν τοῖς ἁγίοις Αὐτοῦ μεγάλα καὶ ἔνδοξα ἐπιτελέσαντα Κύριον ἡμῶν καὶ Θεὸν Ἰησοῦν Χριστόν, ὯΙ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

Ἔγραφον ἐν Δυρραχίῳ, ἐν τῇ Ἱερᾷ Μητροπόλει

τῇ 26 Ἰουλίου, 1917

† Ὁ Μητροπολίτης Δυρραχίου Ἰάκωβος

Τῇ 6 Ἰουλίου μνήμη τοῦ ἁγίου καὶ ἐνδόξου ἱερομάρτυρος Ἀστίου, Ἐπισκόπου Δυρραχίου.

ΕΝ ΤΩ ΜΕΓΑΛΩ ΕΣΠΕΡΙΝΩ

Μετὰ τὸν **προοιμιακὸν** καὶ τὴν πρώτην στάσιν τοῦ «Μακάριος ἀνήρ», εἰς τὸ **Κύριε ἐκέκραξα** ἱστῶμεν στίχους στ΄.

Ἦχος Δ΄ — Ἔδωκας σημείωσιν

(1) Δεῦτε νῦν τὴν κρείττονα — ἀλλοιωθέντες ἀλλοίωσιν,
ἐπαρθῶμεν τῷ πνεύματι — σκιρτῶντες ἐν ᾄσμασι
καὶ ψαλμοῖς καὶ ὕμνοις — καὶ ἀνευφημοῦντες
τὸν πολιοῦχον τὸν σεπτὸν — τοῦ Δυρραχίου, καὶ τὸ ἑδραίωμα
τῆς πίστεως τὸ ἄσειστον — καὶ τῆς Τριάδος τὸν κήρυκα,
εὐσεβείας τὸν πρόμαχον — ἀσεβείας τὸν ἔλεγχον.

———

Δεῦτε νῦν, φιλέορτοι — πανηγυρίσωμεν χαίροντες
Ἱεράρχου τὴν ἔνδοξον — καὶ θείαν πανήγυριν
καὶ ἀγαλλιῶντες — ἐπὶ τοῖς ἐνδόξοις
τοῖς τελεσθεῖσιν ὑπ' αὐτοῦ — μεγαλοφώνως ἀνευφημήσωμεν
τὸν τοῦτον μεγαλύναντα — καὶ ἐξαιρέτως δοξάσαντα
Ἰησοῦν τὸν φιλάνθρωπον — λυτρωτὴν τῶν ψυχῶν ἡμῶν.

———

Ἐκήρυξας πάνσοφε — Ὀρθοδοξίας διδάγματα

(1) Καὶ δι' ἄλλους λόγους καὶ πρὸς εὐκολίαν τῶν ψαλτῶν τὰ πλεῖστα τῶν ᾀσμάτων ἐγράφησαν κατὰ στίχους. Ἂν δὲ ἐν πολλοῖς δὲν ἐτηρήθη ἀκριβῶς ἡ μετρικὴ διαίρεσις, τοῦτο ἐγένετο δι' οἰκονομίαν χάρτου.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΑΘΟΠΟΥΛΟΥ

www.tezaurliturgic.ro

τῇ σῇ ποίμνῃ σωτήρια
Θεὸν καὶ πατέρα
καὶ εἰς συνάναρχον Υἱὸν
καὶ Πνεῦμα τὸ Πανάγιον
τὸ καθαῖρον τὰ πταίσματα

πιστεύειν εἰς ἄναρχον
τοῦ παντὸς τροφέα,
τὸν ὑπὲρ πάντων σάρκα φορέσαντα,
καὶ συναΐδιον ἅμα τε,
καὶ φωτίζον τὰ σύμπαντα.

Ἴχνεσιν ἑπόμενος
τῶν τυράννων κατήλεγξας,
καὶ τὰς φληναφίας,
ταῖς ἀπειλαῖς μὴ πτοηθείς,
καὶ χαίρων ἀναδέδειξαι
καὶ μαρτύρων συνόμιλος,

τοῦ σοῦ Δεσπότου, πανεύφημε,
τὴν ἄτεγκτον ἔπαρσιν
καὶ Ἀγρικολάου
τοῦ μαρτυρίου τρίβον προέκρινας·
τῆς ἀληθείας ὑπέρμαχος,
παμμακάριστε Ἄστιε.

Τοῦ Ἀποστόλου Καίσαρος, α΄ ἐπισκόπου Δυρραχίου (1)

Βολίδες ἀστράπτουσαι
γεγονότες, Ἀπόστολε
πρὶν ἐσκοτισμένα,
τῷ τῶν αἰώνων Βασιλεῖ
μὴ παύσῃ, πανοσίδιμε,
τὴν εἰρήνην τὴν πάντα νοῦν

θεηγορίαν οἱ λόγοι σου,
ἐφώτισαν ὄμματα
καὶ ἔθνη προσῆξαν
Ὦ μεσιτεύων, Καῖσαρ Ἀπόστολε,
τοῦ καταπέμψει τοῖς πέρασι
ἀληθῶς ὑπερέχουσαν.

Θαρρῶν ἀπεδήμησας
τὴν ρομφαίαν τῆς χάριτος
τοῦ Παμβασιλέως,

ἀπὸ ἑώας ζωσάμενος
τὸ ῥῆμα τὸ ἅγιον
καὶ περιοδεύων

(1) Περὶ τοῦ ἀποστ. Καίσαρος τὸ μὲν ὑπ' ἀριθ. 423 χειρόγραφον τῆς ἐν Ἱεροσολύμοις βιβλιοθήκης (ἴδε Ἱεροσολυμιάδα σελ. 262 ὑπὸ Γρ. Παλαμᾶ 1862) ἀναφέρει ὅτι ἐπεσκόπευσε πρῶτος ἐν Δυρραχίῳ. Ὁ Μέγας ἐν τούτοις συναξαριστὴς ἐν τῇ 8 Δεκεμβρίου ἀναφέρει ὅτι ὁ Ἀπόστολος Καῖσαρ ἔγινεν ἐπίσκοπος Κορώνης τῆς ἐν Πελοποννήσῳ ἔχει δ' εἰς αὐτὸν καὶ τὸ κάτωθι δίστιχον

Ὄντως ἐβασίλευσε Καῖσαρ ἐμφρόμως
Χριστῷ βασιλεῖ τὰς ψυχὰς συνεισφέρων.

Εἴτε οὕτως εἴτε ἄλλως, δεδομένου ὅτι οἱ Ἀπόστολοι ἔφερον γενικώτερον χαρακτῆρα ἐν τῇ ἀποστολῇ των ταύτῃ, ἑκάτερον δὲν ἀποκλείει τὸ ἕτερον, ἑπομένως δυνατὸν ἵνα καὶ τὴν ἐκκλησίαν Δυρραχίου ἔπηξε καὶ ἐγκαταστήσας ἐκεῖ τὸν ἅγιον Ἄστιον διετέλεσεν εἶτα καὶ ἐπίσκοπος Κορώνης.

τὴν Ἰλλυρίαν γεγηθὼς
καὶ τούτου ἀναδέδειξαι
καὶ φρουρὸς καὶ ὑπέρμαχος,

παρεπεδήμησας εἰς Δυρράχιον,
ὁ φωτιστὴς καὶ διδάσκαλος,
Καῖσαρ, θεῖε Ἀπόστολε.

ΔΟΞΑ. Τοῦ Ἱερομάρτυρος. Ἦχος πλ. δ΄.

Δεῦτε, πιστοί, πνευματικαῖς ἐγκωμίοις, ὡς ἄνθεσι, καταστέψωμεν καλλινίκως τὸν ἀοίδιμον Ἄστιον, τὸν ἀκάματον ἱεράρχην τοῦ Χριστοῦ, καὶ κήρυκα τῆς ἀληθείας, τὸν ἐξολοθρευτὴν τῶν εἰδώλων καὶ τῶν ψυχῶν ἀγρευτὴν καὶ διδάσκαλον· τὸν πολύσεπτον πολιοῦχον Δυρραχίου καὶ τῆς χώρας του Ἀλβάνου θερμουργὸν ἀντιλήπτορα, καὶ πρὸς αὐτὸν ἐκβοήσωμεν: Πανέντιμε Ἱεράρχα, μὴ διαλίπῃς πρεσβεύειν τῷ Χριστῷ, ὅπως ἵλεως γένηται ἡμῖν ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως.

ΚΑΙ ΝΥΝ. Ἦχος ὁ αὐτός.

Ὁ Βασιλεὺς τῶν οὐρανῶν, διὰ φιλανθρωπίαν, ἐπὶ τῆς γῆς ὤφθη καὶ τοῖς ἀνθρώποις συνανεστράφη· ἐκ Παρθένου γὰρ ἁγνῆς σάρκα προσλαβόμενος καὶ ἐκ ταύτης προελθὼν μετὰ τῆς προσλήψεως, εἷς ἐστὶν Υἱός, διπλοῦς τὴν φύσιν, ἀλλ' οὐ τὴν ὑπόστασιν. Δι' ὃ τέλειον αὐτὸν Θεόν, καὶ τέλειον ἄνθρωπον, ἀληθῶς κηρύττοντες ὁμολογοῦμεν Χριστὸν τὸν Θεὸν ἡμῶν· Ὃν ἱκέτευε, μήτερ ἀνύμφευτε, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Εἴσοδος. ΦΩΣ ΙΛΑΡΟΝ. Προκείμενον τῆς ἡμέρας.
Εἶτα τὰ ἀναγνώσματα.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ
ΑΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

www.tezaurliturgic.ro

Σοφίας Σολομῶντος τὸ ἀνάγνωσμα

Κεφ. Γ′ 1. Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνᾶναι, καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν καὶ ἡ ἀφ' ἡμῶν πορεία σύντριμμα· οἱ δὲ εἰσὶν ἐν εἰρήνῃ. Καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης. Καὶ ὀλίγα παιδευθέντες, μεγάλα εὐεργετηθήσονται· ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτοὺς καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ. Ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτούς, καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς. Καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι. καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται. Κρινοῦσιν ἔθνη καὶ κρατήσουσι λαῶν, καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας. Οἱ πεποιθότες ἐπ' αὐτῷ συνήσουσιν ἀλήθειαν, καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ· ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

Κεφ. Γ′ 11. *Παροιμιῶν τὸ ἀνάγνωσμα*

Τέκνον, μὴ ὀλιγώρει παιδείας Κυρίου, μηδὲ ἐκλύου ὑπ' αὐτοῦ ἐλεγχόμενος. Ὃν γὰρ ἀγαπᾷ Κύριος ἐλέγχει, μαστιγοῖ δὲ πάντα υἱόν, ὃν παραδέχεται. Μακάριος ἄνθρωπος, ὃς εὗρε σοφίαν καὶ

ἄνθρωπος, ὃς εἶδε φρόνησιν. Κρεῖσσον γὰρ αὐτὴν ἐμπορεύεσθαι ἢ χρυσίου καὶ ἀργυρίου θησαυρούς. Τιμιωτέρα δέ ἐστι λίθων πολυτελῶν· οὐκ ἀντιτάσσεται αὐτῇ οὐδὲν πονηρόν· εὔγνωστός ἐστι πᾶσι τοῖς ἀγαπῶσιν αὐτήν· πᾶν δὲ τίμιον οὐκ ἄξιον αὐτῆς ἐστι. Μῆκος γὰρ βίου καὶ ἔτη ζωῆς ἐν τῇ δεξιᾷ αὐτῆς, ἐν δὲ τῇ ἀριστερᾷ αὐτῆς πλοῦτος καὶ δόξα. Ἐκ τοῦ στόματος αὐτῆς ἐκπορεύεται δικαιοσύνη· νόμον δὲ καὶ ἔλεον ἐπὶ γλώσσης φορεῖ. Αἱ ὁδοὶ αὐτῆς, ὁδοὶ καλαὶ καὶ πᾶσαι αἱ τρίβοι αὐτῆς μετ' εἰρήνης. Ξύλον ζωῆς ἐστι πᾶσι τοῖς ἀντεχομένοις αὐτῆς καὶ τοῖς ἐπερειδομένοις ἐπ' αὐτῆς ὡς ἐπὶ Κύριον ἀσφαλῶς.

Σοφίας Σολομῶντος τὸ ἀνάγνωσμα.

Κεφ. Δ′ 7. Δίκαιος ἐὰν φθάσῃ τελευτῆσαι, ἐν ἀναπαύσει ἔσται· γῆρας γὰρ τίμιον, οὐ τὸ πολυχρόνιον, οὐδὲ ἀριθμῷ ἐτῶν μεμέτρηται. Πολιὰ δέ ἐστι φρόνησις ἀνθρώποις καὶ ἡλικία γήρως βίος ἀκηλίδωτος. Εὐάρεστος Θεῷ γενόμενος, ἠγαπήθη καὶ ζῶν μεταξὺ ἁμαρτωλῶν μετετέθη. Ἡρπάγη, μὴ κακία ἀλλάξῃ σύνεσιν αὐτοῦ ἢ δόλος ἀπατήσῃ ψυχὴν αὐτοῦ. Βασκανία γὰρ φαυκότητος ἀμαυροῖ τὰ καλὰ καὶ ῥεμβασμὸς ἐπιθυμίας μεταλλεύει νοῦν ἄκακον. Τελειωθεὶς ἐν ὀλίγῳ ἐπλήρωσε χρόνους μακρούς· ἀρεστὴ γὰρ ἦν Κυρίῳ ἡ ψυχὴ αὐτοῦ· διὰ τοῦτο ἔσπευσεν ἐκ μέσου πονηρίας. Οἱ δὲ λαοὶ ἰδόντες καὶ μὴ νοήσαντες μηδὲ θέντες ἐπὶ διανοίᾳ τὸ τοιοῦτον, ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

ΠΑΝΑΓΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΑΓΙΟΝΟΡΟΣ ΠΑΣΑΡΑΚΟΥ

www.tezaurliturgic.ro

Εἰς τὸν στίχον στιχηρὰ τοῦ ΑΠΟΣΤΟΛΟΥ ΚΑΙΣΑΡΟΣ.

Ἦχος πρῶτος. Τῶν οὐρανίων ταγμάτων.

Καὶ τὰ δαιμόνια πάντα καθυποτάσσεται
ἐν τῷ ὀνόματί Σου, παντοδύναμε ὄντως,
Κύριε τῆς δόξης, ἀναβοᾷ Δυρραχίου ὁ πρόμαχος,
σὺν τοῖς λοιποῖς Ἀποστόλοις καὶ μαθηταῖς τοῦ χοροῦ τῶν ἑβδο-
[μήκοντα.

Στίχ. Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτοῦ.

Τὸν Σατανᾶν ἐθεώρουν ἐξ οὐρανοῦ ποτε,
ὡς ἀστραπὴν πεσόντα, ὁ διδάσκαλος ἔφη.
χαίρων τοῖς φιλτάτοις μου μαθηταῖς ἐξουσίαν νῦν δίδωμι,
ἐπ' ὄφεων καὶ σκορπίων ἐπιπατεῖν, ἐπ' ἐχθροῦ τε πᾶσαν δύναμιν.

Στίχ. Οἱ οὐρανοὶ διηγοῦνται δόξαν Θεοῦ.

Εἰ καὶ τὰ πνεύματα πάντα καθυποτάσσεται
ἐν τῷ ὀνόματί μου, ὡς ὑμεῖς μαρτυρεῖτε
ἅπαντες γηθόμενοι εὐλαβῶς, πλὴν ἐν τούτῳ μὴ χαίρετε,
ἀλλὰ σκιρτήσατε, ὅτι τῆς οὐρανῶν βασιλείας ἠξιώθητε.

ΔΟΞΑ. Τοῦ Ἁγίου Ἀστίου.

Ἦχος πλ. α'.

Ὅτε τῶν ἀπίστων ὁ ἐσμός, σὲ τὸν πολιὸν Ἱεράρχην ἐπὶ σταυροῦ προσήλωσε, θρήνοις γοεροῖς ἡ σὴ ποίμνη πικρῶς ἐπωδύρετο. Σὺ δὲ τῷ μέλιτι ἠλειμμένος καὶ ὑπὸ μελισσῶν κεντούμενος, ἀντὶ πικροτάτης ὀδύνης ἡδονὴν γλυκυτάτην ᾔσθανεσο, πάντα ἐν χαρᾷ

ὑπομένων ὑπὲρ τοῦ πάντων Λυτρωτοῦ. Ὦ καὶ ὁσίως τὴν σὴν ἄκακον καὶ ἄδολον ψυχὴν ὡς Θεῷ καὶ Δεσπότῃ παρέδωκας. Ὦ καὶ πρέσβευε ἀδιαλείπτως τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

ΚΑΙ ΝΥΝ

Μακαρίζομέν σε Θεοτόκε Παρθένε,
καὶ δοξάζομέν σε οἱ πιστοὶ κατὰ χρέος,
τὴν πόλιν τὴν ἄσειστον τὸ τεῖχος τὸ ἄρρηκτον,
τὴν ἀρραγῆ προστασίαν καὶ καταφυγὴν τῶν ψυχῶν ἡμῶν.

Νῦν ἀπολύεις. Τὸ τρισάγιον. Ὅτι Σοῦ.

Ἀπολυτίκιον. Ἦχος δ'. Ταχὺ προκατάλαβε.

Στερρότατον φρόνημα, ἀνειλημμένος σοφὲ
ὁπλῖτα στερρόψυχε, καὶ Δυρραχίου ποιμήν.
Πανένδοξε Ἅστιε,
Θράσος Ἀγρικολάου κατεπάτησας ὄντως
χαίρων δὲ ἀνεδέξω σταυρωθῆναι ἐν ξύλῳ·
δι' ὃ καὶ τὸ βραβεῖον τῆς νίκης ἀπείληφας.

ΔΟΞΑ ***ΚΑΙ ΝΥΝ***

Τὸ ἀπ' αἰῶνος ἀπόκρυφον καὶ Ἀγγέλοις ἄγνωστον μυστήριον
διὰ σοῦ, Θεοτόκε, τοῖς ἐπὶ γῆς πεφανέρωται,
Θεὸς ἐν ἀσυγχύτῳ ἑνώσει σαρκούμενος
καὶ σταυρὸν ἑκουσίως ὑπὲρ ἡμῶν καταδεξάμενος·
δι' οὗ ἀναστήσας τὸν πρωτόπλαστον ἔσωσεν ἐκ θανάτου τὰς ψυχὰς
[ἡμῶν.

Καὶ ἀπόλυσις.

ΕΛΛΗΝΙΚΟΣ ΒΙΒΛΙΟΘΗΚΗ & ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΑΘΗ

www.tezaurliturgic.ro

Εἰς τὴν ΛΙΤΗΝ ἰδιόμελα. Ἦχος α΄.

Ὦ τῆς στερρᾶς καὶ ἀδαμαντίνου σου ψυχῆς, πανσεβάσμιε Ἄστιε. Εἰ καὶ τῷ βάρει τῶν ἐτῶν μόλις βασταζόμενος, τύραννον δυσεβοῦντα, τῇ ἀνδρείᾳ τῆς ψυχῆς κατέβαλες. Καὶ τῷ σταυρῷ προσηλωθείς, τὰ ἔθνη τὰ ἐγγὺς καὶ τὰ μακρὰν ἐδίδαξας σέβεσθαι Χριστὸν τὸν βασιλέα τῆς κτίσεως. Σῶζε οὖν πρεσβείαις σου τοὺς φιλοχρίστους βασιλεῖς καὶ τὸν ὀρθόδοξον λαὸν καὶ πάντας τοὺς τιμῶντας σου τὴν μνήμην τὴν πανένδοξον.

Ἦχος ὁ αὐτός.

Τοῦ εὐκλεοῦς Ἱεράρχου Ἄστίου τὸ ἐτήσιον μνημόσυνον σήμερον πιστοὶ τιμήσωμεν. Τράπεζαν γὰρ προτίθεται ἡμῖν μυστικὴν, τὸν βίον καὶ τὴν ἔνδοξον αὐτοῦ τελευτὴν ὁ μέγας τοῦ Χριστοῦ ἱερομάρτυς καὶ συγκαλεῖται ἅπαντα τῶν εὐσεβῶν τὰ πλήθη. Δεῦτε οὖν καὶ ἡμεῖς κεκαθαρμέναις διανοίαις προσέλθωμεν αὐτῇ καὶ ῥῶσιν κομισώμεθα δοξολογοῦντες Χριστόν, τὸν σωτῆρα τῶν ψυχῶν ἡμῶν.

ΔΟΞΑ. Ἦχος β΄.

Τοῦ πανενδόξου Ἀστίου ἡ μνήμη εὐωδίας μυστικῆς ἅπασαν τὴν κτίσιν πεπλήρωκε καὶ τὰς καρδίας τῶν πιστῶν χαρᾶς ἐνθέου ἐνέπλησε. Δεῦτε οὖν, φιλέορτοι, φαιδρῶς πανηγυρίσωμεν ἀναβοῶντες

πρὸς αὐτόν: ὡς παριστάμενος τῷ Θρόνῳ τοῦ μεγάλου Βασιλέως αἴτησαι δωρηθῆναι εἰρήνην τῷ κόσμῳ καὶ ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος.

ΚΑΙ ΝΥΝ

Πάντων θλιβομένων ἡ χαρὰ καὶ ἀδικουμένων προστάτις,
καὶ πενομένων τροφὴ ξένων τε παράκλησις,
καὶ βακτηρία τυφλῶν· ἀσθενούντων ἐπίσκεψις
καταπονουμένων σκέπη καὶ ἀντίληψις
καὶ τῶν πτωχῶν βοηθὸς Μήτηρ τοῦ Θεοῦ τοῦ Ὑψίστου
ἔθεν σοι προσπίπτομεν ῥῦσαι πάσης περιστάσεως τοὺς δούλους σου.

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετὰ τὴν α΄. στιχολογίαν.

Κάθισμα· Ἦχος δ΄. Κατεπλάγη Ἰωσήφ.

Μετὰ δέους εὐσεβοῦς καὶ φρυκτωρίας ἱερᾶς
μετὰ κλάδων ἀρετῶν λελαμπρυσμένοι τὰς ψυχὰς
οἱ τὸ Δυρράχιον καίοντες Χριστοφόροι
ᾄσωμεν φαιδρῶς μεγαλύνοντες
τῶν Ἱεραρχῶν τὸ ἀγλάϊσμα
ἀπὸ καρδίας ἅπαντες βοῶντες ὡς πολιοῦχῳ καὶ λέγοντες:
Ὦ Ἱεράρχα, τὴν πόλιν ταύτην σῶσον σαῖς ἱκεσίαις.

ΕΚΚΛΗΣΙΑΣΤΙΚΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΧΑΡΑΛΑΜΠΟΥΣ ΠΑΠΑΣΤΡΑΤΟΥ ΑΘΗΝΑΙ

www.tezaurliturgic.ro

ΔΟΞΑ ***ΚΑΙ ΝΥΝ***

Κατεπλάγη Ἰωσὴφ τὸ ὑπὲρ φύσιν θεωρῶν
καὶ ἐλάμβανεν εἰς νοῦν τὸν ἐπὶ πόκον ὑετὸν
ἐν τῇ ἀσπόρῳ συλλήψει σου, Θεοτόκε,
βάτον ἐν πυρὶ ἀκατάφλεκτον
ῥάβδον Ἀαρὼν τὴν βλαστήσασαν
καὶ μαρτυρῶν ὁ μνήστωρ σου καὶ φύλαξ τοῖς ἱερεῦσιν ἐκραύγαζε·
Παρθένος τίκτει, καὶ μετὰ τόκον πάλιν μένει Παρθένος

Μετὰ τὴν β΄. στιχολογίαν.

Κάθισμα. Ἦχος γ΄. Ἐπεφάνης σήμερον.
Ἱερεῖς ὑμνήσωμεν μεγαλοφώνως
ἐν ᾠδαῖς καὶ ἄσμασι τὸν ἱεράρχην τοῦ Χριστοῦ
καὶ ἀθλητὴν τὸν στερρότατον
τῆς Ἐκκλησίας τὸν ἔνδοξον Ἄστιον.

ΔΟΞΑ ***ΚΑΙ ΝΥΝ***

Ἐν τῇ θείᾳ σκέπῃ σου προσπεφευγότες
στεναγμοῖς καὶ δάκρυσι καὶ αἱμασσούσῃ τῇ ψυχῇ
ἀναβοῶμεν σοι Δέσποινα
ταῖς σαῖς πρεσβείαις περίσωζε ἅπαντας.

Μετὰ τὸν πολυέλαιον.

Κάθισμα. Ἦχος γ΄. Θείας Πίστεως
Βάσις ἄσειστος τῆς Ἐκκλησίας
ὤφθης, ἔνδοξε ἱερομάρτυς

Καὶ τοῦ Χριστοῦ μιμητὴς γενναιότατος.
Τῷ γὰρ σταυρῷ τὰς παλάμας ἐξέτεινας,
ἐπιδιδάσκων σὸν ἔνθεον ποίμνιον
ἐμμένειν τῇ πίστει Αὐτοῦ, ἧς εὐθαρσότατα
προεκινδύνευσας παμμακάριστε.

ΔΟΞΑ ***ΚΑΙ ΝΥΝ***

Θεία γέγονας σκηνὴ τοῦ Λόγου
μόνη Πάναγνε παρθενομῆτορ,
τῇ καθαρότητι ἀγγέλους ὑπεράρασα·
τὸν ὑπὲρ πάντας ἐμὲ οὖν γενόμενον·
ῥερυπωμένον σαρκὸς πλημμελήμασιν
ἀποκάθαρον πρεσβειῶν σου ἐνθέοις νάμασι
παρέχουσα, σεμνὴ τὸ μέγα ἔλεος.

ΟΙ ΑΝΑΒΑΘΜΟΙ

Τὸ α΄. ἀντίφωνον τοῦ δ΄. ἤχου.

Ἐκ νεότητός μου πολλὰ πολεμεῖ με πάθη·
ἀλλ᾽ αὐτὸς ἀντιλαβοῦ καὶ σῶσον Σωτήρ μου. (Δὶς)
Οἱ μισοῦντες Σιὼν αἰσχύνθητε ἀπὸ τοῦ Κυρίου,
ὡς χόρτος γὰρ πυρὶ ἔσεσθε ἀπεξηραμμένοι. (Δὶς)

ΔΟΞΑ ΠΑΤΡΙ

Ἁγίῳ πνεύματι πᾶσα ψυχὴ ζωοῦται,
καὶ καθάρσει ὑψοῦται λαμπρύνεται,
τῇ τριαδικῇ μονάδι ἱεροκρυφίως.

ΠΑΝΑΓΙΑ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ ΒΙΒΛΙΟΘΗΚΗ

www.tezaurliturgic.ro

ΚΑΙ ΝΥΝ

Ἁγίῳ Πνεύματι ἀναβλύζει τὰ τῆς χάριτος ῥεῖθρα
ἀρδεύοντα ἅπασαν τὴν κτίσιν πρὸς ζωογονίαν.

Προκείμ: Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ Ὁσίου αὐτοῦ.

Στίχ: Τί ἀνταποδώσω τῷ Κυρίῳ περὶ πάντων, ὧν ἀνταπέδωκέμοι.

Πᾶσα πνοή. ***Εὐαγγέλιον τοῦ Ὄρθρου.***

(Ζήτει εἰς τὴν 13 Νοεμβρίου. «Εἶπεν ὁ Κύριος: ἐγὼ εἰμὶ ἡ θύρα».

Μετὰ τὸν Ν΄. ψαλμόν. ΔΟΞΑ: ταῖς τοῦ Ἱεράρχου.

ΚΑΙ ΝΥΝ: ταῖς τῆς Θεοτόκου.

Στίχ: Ἐλέησόν με ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεός Σου.

Ἦχος πλ. β΄.

Ἐν τῷ σταυρῷ προσηλωθείς, καὶ τῇ ὀδύνῃ ποτισθείς,
τὴν χάριν τῶν θαυμάτων, ἀπείληφας, Ἄστιε.
Ὅθεν σε δυσωποῦμεν, καὶ σὲ παρακαλοῦμεν
ἀπὸ παντοίων κινδύνων, τὴν ποίμνην σου περίσωζε.

Ὁ κανὼν τῆς Θεοτόκου.

Εἶτα ὁ τοῦ Ἁγίου, οὗ ἡ ἀκροστιχίς:

« ΕΜΕ ΠΑΤΗΡ, ΕΓΛΟΓΕΙ ΟΓΡΑΝΟΘΕΝ »

Ὠδὴ α΄ ἦχος β΄. Ἐν βυθῷ κατέστρωσέ ποτε.

Ἐγκωμίων ἄσμασι φαιδροῖς, δεῦτε, ὦ φιλέορτοι,
τὸν Ἱεράρχην τοῦ Χριστοῦ στεφανώσωμεν.
Καὶ αὐτῷ βοήσωμεν: Ὀρθοδόξου Ἐκκλησίας χαίροις καύχημα,
εὐσεβείας θεῖον ἔρεισμα καὶ Δυρραχίου σέμνωμα.

Μυηθεὶς ἀπόρρητα Θεοῦ μυστηρίων ἔννοιαν
τῆς τοῦ Υἱοῦ ἐνδημίας πανόλβιε,
τοὺς λαοὺς ἐκάλεσας εἰς ἐντρύφησιν πανδαισίας εὐσχήμονος,
ἣν αὐτοῖς Χριστὸς παρέθετο, ὁ μέγας πολυέλεος.

ΔΟΞΑ ***Τριαδικόν.***

Ἐλλαφθεὶς τῇ αἴγλῃ τοῦ Πατρός, μάκαρ ἱερώτατε
τὴν τοῦ Υἱοῦ παρουσίαν ἐκήρυξας
εὐθαρσῶς καὶ ἔμελψας, τὴν τοῦ Πνεύματος ἐπιφοίτησιν ἔνθεον
πᾶσι τοῖς εἰδόσι προσκυνεῖν Τριάδα τὴν ἀχώριστον.

ΚΑΙ ΝΥΝ ***Θεοτόκιον.***

Ὑπερτέρα πέφηνας, Ἁγνή, πάσης ἀοράτου τε
καὶ δρατῆς, Ἀειπάρθενε, φύσεως·
τὸν γὰρ κτίστην τέτοκας, ὡς ηὐδόκησε σαρκωθῆναι ἐν μήτρᾳ σου.
Ὧ σὺν παρρησίᾳ πρέσβευε, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Ὠδὴ γ΄. Στερέωσον ἡμᾶς.

Παράδοξα, τρανὰ καὶ τεράστια θαρρῶν ἐπετέλεσας, Ἱεράρχα,
τῶν ἀθέων γὰρ τὴν ἔπαρσιν εἰς γῆν καθεῖλες ποιμὴν ἀξιάγαστε.

Ἀνῆλθες ἐν σταυρῷ, ὦ πολύαθλε, καὶ ἴσχυνας τοῦ Τυράννου τὸ θράσος
μαρτυρήσας γενναιότατα, ὑπὲρ ποιμνίου τοῦ σοῦ, παμμακάριστε.

ΔΟΞΑ ***Τριαδικόν.***

Τριάδος ὑπερθέου τὴν δύναμιν, τρανῶς ἀνεκήρυξας πιμενάρχα,
παρεστὼς οὖν ταύτῃ πρέσβευε τοῦ οἰκτειρῆσαι καὶ σῶσαι τοὺς δούλους σου.

ΒΙΒΛΙΟΘΗΚΗ ΠΑΠΑΤΡΑΤΟΥ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΤΡΑΤΟΥ

www.tezaurliturgic.ro

ΚΑΙ ΝΥΝ ***Θεοτόκιον.***

Παρθένε Παναγία Παντάνασσα παθῶν μου ἀπέλασον τὸ δυσῶδες,
καὶ στερέωσον κλονούμενον προσβολαῖς τοῦ δολίου πολεμήτορος.

Κάθισμα. Ἦχος α΄. Τὸν τάφον σου Σωτήρ.

Ἀστεῖε Θαυμαστὲ
μαρτύρων καλλονὴ
ἐπάκουσον ἐν θλίψεσι
ῥῦσαι ἅπαντας
καὶ διάσωσον
τοὺς σὲ ἱκετεύοντας.

Ἱεράρχα Κυρίου
καὶ ποιμὴν Δυρραχίου,
τῶν πιστῶν δεομένων σου,
τῆς ἐνεστώσης ἀνάγκης
ἀπὸ παντοίων κινδύνων

ΔΟΞΑ ***ΚΑΙ ΝΥΝ***

Παρθένων καλλονὴ
παντάνασσα σεμνὴ
εὐθέως διασκόρπισον,
σῶζε φύλαττε
καὶ διάλυσον
καὶ τούτους ἐπίστρεψον.

καὶ μητέρων ἡ δόξα,
ἀσεβούντων τὰ τόξα
καὶ τὸ θράσος κατάβαλε,
τῶν Ὀρθοδόξων τὰ πλήθη
αἱρετικῶν τὰς ἐνέδρας

Ὠδὴ δ΄. Ἐλήλυθας ἐκ Παρθένου.

Ἠνείχεσο μελισσάων
καὶ τυράννων ἔλεγχες
ἴχνεσιν ἑπόμενος
Δέξα τῇ δυνάμει Σου.

τοῖς κέντροις κεντούμενος
παρανομούντων ἀσέβειαν,
τοῦ σοῦ Δεσπότου, Ὦ ἥδες:

Ρανάτωσαν ὑετὸν
δροσισμὸν παρέχουσαι
Ἄστιον τὸν ἔνδοξον
εὖ γε μαρτυρήσαντα.

αἱ νεφέλαι τῆς χάριτος,
τοῖς φλεγομένοις τοῖς πάθεσιν
ἐγκωμιᾶσαι ποθοῦσιν

ΔΟΞΑ ***Τριαδικόν.***

Ἐκήρυξας τῆς Τριάδος τὸ κράτος, μακάριε,
καὶ Αὐτῆς τὴν δύναμιν τοῖς ἐξ ἐθνῶν ἐμαρτύρησας
χαίρων προσεδέξω τε ἀποθανεῖν ὑπὲρ ταύτης
Ἣν ὑμνεῖ τὰ σύμπαντα.

ΚΑΙ ΝΥΝ ***Θεοτόκιον.***

Σὲ λιμένα σωτηρίας καὶ τεῖχος ἀκράδαντον
Θεοτόκε Δέσποινα, πάντες πιστοὶ ἐπιστάμεθα,
σὺ γὰρ ταῖς πρεσβείαις σου, ἐκ τῶν κινδύνων λυτροῦσαι
καὶ σώζεις τοὺς δούλους σου.

Ὠδὴ ε΄. Μεσίτης Θεοῦ.

Ὑμνῶν τὸν Θεόν, προσκυνεῖν ἠρνήσατο ψευδέσι Θεοῖς,
οὓς τρανῶς ἐξήλεγχε διδάσκων πανάριστα τὸ ποίμνιον,
Ἄστιος ὁ θεόφρων, ποιμὴν θεοπρεπέστατος.

Λειμὼν ἀρετῶν, ἀναδέδεικται ὄντως ὁ θεῖος πατήρ,
προσκαλῶν τὸ ποίμνιον εἰς ὄντως ἱερὰν κατατρύφησιν,
ἐν μελέτῃ τοῦ βίου αὐτοῦ καὶ τῆς σταυρώσεως.

ΔΟΞΑ. ***Τριαδικόν.***

Ὁ πᾶσι Πατρός, τὸ ἀγέννητον ὄντως κηρύξας, ~~σοφέ~~ σαφέ
~~σοφέ~~, τοῦ Υἱοῦ τὴν γέννησιν καὶ τοῦ Θείου Πνεύματος ἐκπόρευσιν
ἐκ Πατρὸς ἀϊδίου πᾶσιν ἡμῖν ἐτράνωσας.

ΚΑΙ ΝΥΝ ***Θεοτόκιον.***

Δυσώπει, Ἁγνή, τὸν φιλάνθρωπον υἱόν σου καὶ Κύριον,
αἰχμαλώτοις λύτρωσιν, τοῖς ἐξ ἐναντίας περιστάσεως,
ἐπὶ σοὶ πεποιθόσιν εἰρηνικὴν δωρήσασθαι.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

www.tezaurliturgic.ro

Ὠδὴ στ΄. Ἐν ἀβύσσῳ πταισμάτων κυκλούμενος.

Γηγενῶν ἁμαρτίαις κλονούμενον
καὶ ἐν πειρασμοῖς τῶν παθῶν ἐκτηκόμενον
ποιμήν ὁ Θεῖος Ἄστιε, ἐκ παντοίων δεινῶν με ἀπάλλαξον.

Ἐκβαλὼν λογισμοὺς ματαιόφρονας
ὡς πρὸς τήν ἀκρότητα πάντων ἀνέβραμες
σταυρῷ παγείς, ἀοίδιμε, καὶ τὴν πίστιν ἐβράσας σῷ αἵματι.

ΔΟΞΑ ***Τριαδικόν.***

Παναγίας Τριάδος ὑπέρμαχος
τῆς ζωογονούσης τὰ πάντα ἐν χάριτι,
τρανῶς ὑπῆρξας Ἄστιε, ἣ καὶ χαίρων ἐν δόξῃ παρίστασαι.

ΚΑΙ ΝΥΝ ***Θεοτόκιον.***

Ἀπειράνδρως, Παρθένε ἐκύησας,
καὶ διαιωνίζεις παρθένος ἐμφαίνουσα
τῆς ἀληθοῦς Θεότητος τοῦ Υἱοῦ καὶ Θεοῦ σου τὰ σύμβολα.

ΚΟΝΤΑΚΙΟΝ. Ἦχος γ΄. Ἐπεφάνης σήμερον.

Τοῦ τυράννου ἴσχυνας ἄλογον θράσος
καὶ σαυτὸν προσήγαγες θυσίαν ζῶσαν τῷ Χριστῷ
ἐν τῷ σταυρῷ τὰς ὁσίας σου
χεῖρας ἁπλώσας πανένδοξε Ἄστιε.

ΟΙΚΟΣ

Τὶς τῶν βροτῶν τοὺς σοὺς ἀγῶνας καὶ τὰ ἔπαθλα διηγήσεται, πανθαύμαστε; Ποία δὲ γλῶσσα ἐξυμνήσει τὰς ἀρετάς σου, τὴν πίστιν τὸ θάρρος καὶ τὴν ἀνδρείαν, ἃς ἐν τῷ σῷ βίῳ καὶ τῷ σῷ μαρτυρίῳ ἀνέπτυξας; Τὸ γὰρ δέλεαρ καὶ τὰς ἀπειλὰς τῶν ἀνόμων εἰς οὐδὲν λογισάμενος ἑκὼν ὑπὲρ Χριστοῦ ἐσταυρώθης καὶ ἠξιώθης στεφάνων δόξης, πανένδοξε Ἄστιε.

Τῇ στ΄. Ἰουλίου ὁ Ἅγιος Ἄστιος, Ἐπίσκοπος Δυρραχίου, μέλιτι χρεισθὶς καὶ ὑπὸ μελισσῶν κεντούμενος ἐπὶ σταυροῦ τελειοῦται.

Ἄστιος ἀρθεὶς εὗρεν ἀστεῖον τέλος,
ὀφθεὶς μελίσσαις βρῶσις ἐγχρισθεὶς μέλι.
Ἄστιον ἔμφρονα εἶλε μέλας σταυρῷ θάνατος.

Οὗτος ἦτο ἐπὶ Τραϊανοῦ Αὐτοκράτορος καὶ Ἀγρικολάου ἡγεμόνος Δυρραχίου, ἐν ἔτει 98 μ. Χ. Συλληφθεὶς δὲ ὑπὸ τῶν πρώτων τῆς πόλεως Δυρραχίου καὶ μὴ πεισθεὶς νὰ θυσιάσῃ εἰς τὰ εἴδωλα προσήχθη πρὸς τὸν ἡγεμόνα Ἀγρικόλαον καὶ ἐδάρη ἐνώπιον αὐτοῦ μὲ χεῖρας μολυβδίνους καὶ μὲ νεῦρα βοῶν. Καὶ ἐπειδὴ ἐπέμενεν εἰς τὴν πίστιν τοῦ Χριστοῦ ἐχρίσθη μὲ μέλι καὶ ἐσταυρώθη ἐπὶ ξύλου ἐγγὺς τοῦ τείχους τῆς πόλεως, ἐν καιρῷ θέρους, ὅτε καθ' ὑπερβολὴν καίει ὁ ἥλιος. Καὶ κεντούμενος ὑπὸ σφηκῶν καὶ μελισσῶν καὶ μυιῶν παρέδωκε τὴν ψυχὴν αὐτοῦ εἰς χεῖρας Θεοῦ καὶ οὕτως ἔλαβεν ὁ μακάριος τὸν τοῦ μαρτυρίου στέφανον.

Τῇ αὐτῇ ἡμέρᾳ (κυρίως τῇ 7) μνήμη τῶν Ἁγίων Περεγρίνου καὶ τῶν σὺν αὐτῷ Λουκιανοῦ, Πομπηίου Ἡσυχίου, Παπίου, Σαντορνίνου καὶ Γερμανοῦ, ῥιφθέντων εἰς τὴν θάλασσαν ὑπὸ τοῦ Ἡγεμόνος Δυρραχίου Ἀγρικολάου καὶ τελειωθέντων.

Σὺν ἓξ κατῆλθεν εἰς βυθὸν Περεγρῖνος
ἀθλήσεως ἐκεῖθεν ἀγρεύσων στέφος.

Οὗτοι οἱ ἅγιοι κατήγοντο ἐξ Ἰταλίας καὶ ἦκμαζον κατὰ τοὺς χρόνους τοῦ Αὐτοκράτορος Τραϊανοῦ, 98 μ. Χ. Γινομένου δὲ τότε διωγμοῦ κατὰ τῶν χριστιανῶν ἐπεβιβάσθησαν εἰς πλοῖον καὶ μετέβησαν εἰς τὴν πόλιν τοῦ Δυρραχίου. Ἐκεῖ ἰδόντες τὸν ἅγιον Ἄστιον, τὸν Ἐπίσκοπον Δυρραχίου κρεμάμενον ἐπὶ σταυροῦ, ἠλειμμένον μὲ μέλι καὶ κεντούμενον ὑπὸ σφηκῶν καὶ μυιῶν, διὰ τὴν πίστιν τοῦ Χριστοῦ καὶ μακαρίσαντες αὐτὸν συνελήφθησαν. Ὁμολογήσαντες δὲ ὅτι εἶνε Χριστιανοί, ἐρρίφθησαν κατὰ διαταγὴν τοῦ ἀνθυπάτου Ἀγρι-

ΣΥΛΛΟΓΗ ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΑΝΤΩΡΕΣ ΠΑΠΑΔΟΠΟΥΛΟΙ

www.tezaurliturgic.ro

κολάου εἰς τὸ Ἀδριατικον πέλαγος, τὸ ἀπὸ Βενετίας μέχρι Κυθήρων ἐκτεινόμενον καὶ οὕτως ἔλαβον οἱ μακάριοι τοὺς τοῦ μαρτυρίου ἀμαράντους στεφάνους. Τὰ δὲ ἅγια αὐτῶν λείψανα ριφθέντα ἔξω ὑπὸ τῆς θαλάσσης κατεχώσθησαν εἰς τὴν ἄμμον. Ἀφ' οὗ δὲ παρῆλθον 70 ἔτη, ἐφανερώθησαν εἰς τὸν ἐπίσκοπον τῆς Ἀλεξανδρείας (1) ὅστις, λαβὼν αὐτὰ ἔθαψεν ἐντίμως, κτίσας εἰς τὸ ὄνομά των καὶ μικρὰν Ἐκκλησίαν.

Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Σισώη τοῦ Μεγάλου.

Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τῶν ἁγίων Ἀποστόλου Ἀρχίππου, Φιλήμονος καὶ Ὀνησίμου καὶ τῶν ἁγίων μαρτύρων Ἀπολλωνίου, Ἀλεξανδρίωνος καὶ Ἐπιμάχου.

Ταῖς αὐτῶν ἁγίαις πρεσβείαις, Χριστὲ ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.

Ὠδὴ ζ'. Εἰκόνος χρυσῆς ἐν πεδίῳ Δειρᾷ.

Ὁρῶν ἐν σταυρῷ, Δυρραχίου ὁ λαὸς προσηλωμένον,
τὸν γηραλέον Ἀρχιποίμενα, κατωλοφύρετο δάκρυσι,
χαίρει δε, σκιρτᾷ καὶ χορεύει, ἐν τῇ μνήμῃ τῇ σήμερον
εὐλογητός, ἀναβοῶν, ὁ τῶν πατέρων Θεός.

Ὑπάτῃ φωνῇ ἐκβοῶμεν σοι, πανάγιε Ἱεράρχα,
ταῖς σαῖς πρεσβείαις ἐξιλέωσαι, τὸν δικαιότατον Ἄνακτα,
ἵνα ἐκ παντοίων κινδύνων ἀπαλλάξῃ τοὺς ψάλλοντας:
εὐλογητὸς εἶ ὁ Θεός, ὁ τῶν πατέρων ἡμῶν.

ΔΟΞΑ ***Τριαδικόν.***

Ῥημάτων βοαῖς, Δυρραχίου οἱ πιστοὶ ἀναφωνοῦμεν,
ταῖς σαῖς λιταῖς πρὸς τὸν Θεάνθρωπον, παντὸς κινδύνου καὶ θλίψεως

(1) Δυνατὸν νὰ ὑποτεθῇ, ὅτι πρόκειται περὶ Ἀλεξανδρείας τινὸς ἐν Ἠπείρῳ πολισθείσης πρὸς τιμὴν τοῦ Μεγάλου Ἀλεξάνδρου ἢ τοῦ Βασιλέως τῆς Ἠπείρου Ἀλεξάνδρου.

ῥῦσαι τοὺς κραυγάζοντας πόθῳ, ἐκ καρδίας καὶ μέλποντας:
εὐλογητὸς εἶ ἀληθῶς, ὁ ἐν Τριάδι Θεός.

ΚΑΙ ΝΥΝ ***Θεοτόκιον.***

Ἄϋλου φωτός, οἰκητήριον ἡ μήτρα σου γεγένηται,
τοῦ φρικτωρίοις θείας γνώσεως τὴν ἀθεΐαν μειώσαντος
Ἄχραντε Θεόνυμφε κόρη, ὃν ὑμνοῦντες κραυγάζομεν:
εὐλογητὸς εἶ ὁ Θεὸς ὁ τῶν πατέρων ἡμῶν.

Ὠδὴ η'. Τὸν ἐν καμίνῳ τοῦ πυρός.

Ἀποκαθάρας τὴν ψυχὴν ἐν τῷ λέβητι τῶν θλίψεων καὶ κινδύνων
ἀρετῆς ἀκροτάτης κατηξιώθης βοῶν:
ὑμνεῖτε τὰ ἔργα τὸν Κύριον καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Νοὸς φρονήματι στερρῷ ἐστερέωσαι τῆς πίστεως ἐν τῇ πέτρᾳ,
μαρτυρίου τε στέφους κατηξιώθης βοῶν:
ὑμνεῖτε τὰ ἔργα τὸν Κύριον καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Τριαδικόν.

Εὐλογοῦμεν Πατέρα, Υἱὸν καὶ Ἅγιον Πνεῦμα τὸν Κύριον.

Ὁ ἐν Τριάδι εἷς Θεός, κόσμον ἅπαντα ἐκ πλάνης ἐπιστρέψας
σκοτασμοῦ ἀγνωσίας τε μελῳδεῖται λοιπόν:
ὑμνεῖτε τὰ ἔργα τὸν Κύριον καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας

ΚΑΙ ΝΥΝ ***Θεοτόκιον.***

Ἐξασθενήσασαν πολλαῖς προσβολαῖς τοῦ πονηροῦ Θεογεννῆτορ
τὴν ἀθλίαν ψυχήν μου ταῖς ῥωστικαῖς σου λιταῖς,
Παρθένε Ἁγία ἀπέργασαι, ἵνα σὲ δοξάζω εἰς πάντας τοὺς αἰῶνας.

Ὠδὴ θ'. (Τῶν 7 μαρτύρων) Τὸν ἐκ Θεοῦ Θεὸν λόγον.

Θάμβει πολλῷ καθορῶν σε τεταμένον ἐν ξύλῳ,
Ἄστιε, ἐπταρίθμων ὁ χορὸς χαίρων παρέστη τυράννῳ βοῶν,

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΑΘΗΝΩΝ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

www.tezaurliturgic.ro

βασιλείας τῆς Θείας ἐπέγνωμεν τὴν ἄρρητον φωνὴν
καὶ προκρίνομεν θνήσκειν τὸν κτίστην μεγαλύνοντες.

Ἐν τῷ πελάγει ῥιφθέντες οἱ ἑπτάριθμοι ἄνδρες,
ἔσβεσαν τοῦ τυράννου τὴν ὁρμήν, πᾶσιν ἡμῖν ἐντελλόμενοι νῦν
ὑπὲρ πίστεως θνήσκειν καὶ θέλγητρα σαρκὸς ὑπερορᾶν
Ἐκκλησίαν τὴν μίαν τιμῶντας καὶ γεραίροντας.

ΔΟΞΑ

Ναὸν ἐδείματο χαίρων καὶ σκιρτῶν ἐκ καρδίας
ὄντως Ἀλεξανδρείας ὁ ποιμὴν ὅτε τὰ λείψανα εὗρεν ὑμῶν
εἰς μαρτύριον μέγα τῆς πίστεως αὐτοῦ καὶ τῆς ὑμῶν
εὐσεβείας, ἧς χάριν ἐπνίγητε μακάριοι.

ΚΑΙ ΝΥΝ ***Θεοτόκιον.***

Φεῖσαί μου, Κύριε, φεῖσαι ὅταν μέλλῃς με κρῖναι,
καὶ μὴ καταδικάσῃς με εἰς πῦρ, μὴ τῷ θυμῷ σου ἐλέγξῃς ἐμέ,
δυσωπεῖ σε Πάρθένος ἡ σὲ κυοφορήσασα, Χριστέ,
τῶν Ἀγγέλων τε πλήθη καὶ τῶν μαρτύρων σύλλογος.

Ἐξαποστειλάριον. Ἦχος γ΄. Ἐπεφάνη ὁ Σωτήρ.

Δι' ἀγάπην τοῦ Χριστοῦ μαρτύρων τέλος εἴληφας,
μετὰ μυρίας βασάνους ἐν τῷ σταυρῷ προσηλωθεὶς
καὶ τὸν τῆς δόξης στέφανον εἰληφῶς ἐπαγάλλῃ

Πανένδοξε Ἄστιε. ***Θεοτόκιον.***

Ἡ Παρθένος Μαριὰμ Ἀγγέλων ἡ παντάνασσα,
ἡ προστασία τοῦ Κόσμου χριστιανῶν ἡ χαρμονή,
τὸν σὸν υἱὸν καὶ Κύριον ἐκ δυσώπει τοῦ σῶσαι
καὶ ῥύσασθαι ἅπαντας.

Εἰς τοὺς ***αἴνους,*** ἱστῶμεν στίχους δ΄.

Ἦχος πλ. α΄. Χαίροις ἀσκητικῶν.

Χαίροις Ἀρχιερεῦ τοῦ Χριστοῦ, τοῦ Δυρραχίου ἀγλαότατον σέμνωμα

καὶ πάντων τῶν πιστευόντων εἰς τὴν Τριάδα τρανῶς,
πρευσβευτὴς ὁ μέγας καὶ θερμότατος.
Ποιμὴν ἀξιάγαστος εὐσεβείας ὁ πρόμαχος
καὶ ἀσεβείας ἐλεγκτὴς εὐτολμότατος
καὶ διδάσκαλος σωφροσύνης ἀνάπλεως,
μέμνησο τῶν τελούντων σου τὸ θεῖον μνημόσυνον
καὶ ταῖς εὐχαῖς σου τὴν λύσιν τῶν ὀφλημάτων κατάπεμψον
καὶ πᾶσι παράσχου ταῖς πρεσβείαις σου εἰρήνην
καὶ μέγα ἔλεος. (Δὶς)

Δεῦρο τῶν εὐσεβῶν ὁ ἐσμὸς εὐσεβοφρόνως ἐν ψαλμοῖς ἀλλαλάξωμεν
γεραίροντες καὶ ὑμνοῦντες ἀπὸ βαθέων ψυχῆς
τὸν στερρὸν ὁπλίτην καὶ ἀδάμαστον
τὸν ἔνδοξον Ἄστιον ὃς τὸν Θεῖον Διδάσκαλον
τῆς ἀληθείας προφανῶς ἐμιμήσατο,
κληρωσάμενος σταυρικὸν τέλος ἔνθεον.
Ὅθεν καὶ ἐπαγάλλεται τὰ ἄνω βασίλεια
ἀπολαβὼν ἐπαξίως, ὡς τῶν Ἀγγέλων συνόμιλος,
μεθ' ὧν ἱκετεύει δωρηθῆναι ἡμῖν πᾶσι
τὸ μέγα ἔλεος.

Τοῦ Ἀποστόλου.

Χαίροις τῶν Ἀποστόλων Χριστοῦ τῶν ἑβδομήκοντα ἀστὴρ παμφάεστατος
ὁ λύχνος τῆς εὐσεβείας τῆς ἀληθείας πυρσὸς διαπρύσιος.
τῶν δογμάτων κῆρυξ πᾶσαν κτίσιν κατήρδευσας
Σὺ Καῖσαρ Ἀπόστολε, ποταμοῖς πολυχεύμοσι
θεογνωσίας πρὸς Χριστὸν ἔθνη ἄθεα.
καὶ προσήγαγες θερμῶς ἱκετεύοντες
Ὅθεν σὲ μακαρίζομεν τοῦ καταπαῦσαι τὸν κλύδωνα
τὴν Παναγίαν Τριάδα ἀδιάσειστον τῷ κόσμῳ
καὶ πέμψαι γαλήνην
καὶ μέγα ἔλεος.

www.tezaurliturgic.ro

ΔΟΞΑ Ἦχος α΄. ***Τοῦ ἱερομάρτυρος.***

Ἡμέρα εὔσημος, πιστοί,
τοῦ Ἱεράρχου τοῦ ὁσφοῦ
ἐπέλαμψεν ἡμῖν φαιδρὰ
ἁπάντων ἡμῶν τὰς ψυχὰς
Ὅθεν καὶ συνελθόντες οὖν
τῷ Τρισηλίῳ βασιλεῖ
ἀναβοῶντες πρὸς Αὐτὸν
καὶ τοῦ παντὸς δημιουργὲ
καὶ τῶν δεινῶν ἀπαλλαγὴν
καὶ σῶσον τὰς ψυχὰς ἡμῶν.

καὶ ἑορτὴ πανέκλαμπρος
καὶ πανενδόξου ἀθλητοῦ·
καὶ εὐφροσύνῃ μυστικῇ
ἐνθέως κατεφαίδρυνεν.
αἶνον καὶ δόξαν μέλπομεν
καὶ παγκοσμίῳ Πρύτανι,
Πανάγιε, ὑπέρθες
τὴν σὴν εἰρήνην βράβευσον
τῷ φιλοχρίστῳ Σου λαῷ

ΚΑΙ ΝΥΝ

Ἁμαρτωλῶν τὰς δεήσεις προσδεχομένη
καὶ θλιβομένων στεναγμὸν μὴ παρορῶσα
πρέσβευε τῷ ἐξ ἁγνῶν λαγόνων σου
σωθῆναι ἡμᾶς, Παναγία Παρθένε.

ΔΟΞΟΛΟΓΙΑ ΜΕΓΑΛΗ

Εἰς τὴν λειτουργίαν Ἀπόστολος τῆς 18 Ἰανουαρίου.

Προκείμενον, ἦχος βαρύς.

Τίμιος ἐναντίον Κυρίου, ὁ θάνατος τοῦ ὁσίου αὐτου.

Τί ἀνταποδώσωμεν τῷ Κυρίῳ περὶ πάντων.

Πρὸς Ἑβραίους ἐπιστολῆς Παύλου.

Ἀδελφοὶ μνημονεύετε τῶν ἡγουμένων ὑμῶν.

Εὐαγγέλιον τῆς 3 Σεπτεμβρίου : ***Ἐκ τοῦ κατὰ Ματθαῖον.***

Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ μαθηταῖς: Πάντα μοι παρεδόθη ὑπὸ τοῦ πατρός μου κλπ.

Εἰς τὰ δίπτυχα.

Μεγαλυνάριον ἦχος β΄. Τὸν οὐρανοφάντορα.

Δεῦτε εὐφημήσωμεν
ἅσμασιν ἐνθέοις
τὸν τοῦ Δυρραχίου
τὸν Ἄστιον τὸν θεῖον

οἱ πιστοὶ
Ἱεράρχην θεοπρεπῆ
θερμότατον προστάτην
ἱερομάρτυρα.

Κοινωνικόν.

Εἰς μνημόσυνον αἰώνιον ἔσται δίκαιος· ἀλληλούϊα.

ΤΕΛΟΣ

καὶ τῷ τῶν καλῶν ἐργάτῃ Θεῷ δόξα.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

www.tezaurliturgic.ro

Οἱ γνωσιοὶ ἐκ τῶν Ἀρχιερατευσάντων ἐν τῇ ἐπαρχίᾳ Λυρραχίου

(ἐκ τῶν καταλόγων Ἀνθίμου Ἀλεξούδη. Μητροπολίτου Ἀμασείας).

1. **Καῖσαρ,** ἐκ τῶν 70 Ἀποστόλων.
2. **Ἄστιος** (καὶ Ἀστεῖος) (98 μ. Χ)
3. **Εὐχάριος** (431) πρακτ. Γ' Οἰκουμ. Συνόδου.
4. **Λουκᾶς** (451) » Δ' » »
5. **Σισίνιος** (692) » τῆς ἐν Τρούλλῳ »
6. **Νικηφόρος** (783) » Ζ' Οἰκουμ. »
7. **Λουκιανὸς** (879) » τῆς ἐπὶ Φωτίου μεγάλης συνόδου.
8. **Λαυρέντιος** (1025) Σύνοδ. σημι. ἐπὶ Ἀλεξίου Πατριάρχου.
9. **Λαυρέντιος** (1053) Μητροπολίτης καὶ Σύγκελλος (συν. σημι. ἐπὶ Μιχαὴλ Κηρουλαρίου).
10. **Ἀνώνυμος** (1143) Μητροπολίτης (συν. σημι. ἐπὶ Μιχαὴλ Ὀξείτου.
11. **Κωνσταντῖνος** ὁ Καβάσιλας (1180) σύγχρονος Βαλσαμῶνος.
12. **Ρωμανὸς** (1240) πρακτ. ἐπὶ Πατρ. Μανουὴλ τοῦ Β'.
13. **Ἀνώνυμος** (1289) Νεαρὰ Ἀθανασίου Α'. (* Ἴδε σημείωσιν) Τοὐντεῦθεν ὁ Μητροπ. Λυρραχίου ὑπόκειται ὑπὸ τὸν Ἀρχιεπισκοπικὸν θρόνον Ἀχρίδος καὶ οὐχὶ ὡς μέχρι τοῦδε τὸν Κωνσταντινουπόλεως.
14. **Δανιὴλ** (1693) γενόμενος Κορυτσᾶς τῷ 1694.
15. **Κοσμᾶς** (1694) «Μητροπολίτης Λυρραχίου καὶ Λαλιάτων, τέως Κυτιαίων, Νεμεσοῦ καὶ Κουρείων Κύπρου (Ἴδε ἐπιστολὴν αὐτοῦ ὑπὸ Μ. Ι. Γεδεὼν περιοδ. Κῆρυξ Κων)πόλεως 1891, τεῦχ. 27-28.)
16. **Νεόφυτος** (1760) ἀπόδ. ζητημοιρίων τῆς Ἀρχιεπ. Ἀχριδῶν. Τοὐντεῦθεν δὲ πάλιν ὑπὸ τὸν Πατριαρχ. θρόνον Κων)πόλεως.
17. **Γρηγόριος** (1767) φερόμενος ἐν χειρογράφοις μέχρι τοῦ 1772.
18. **Κωνστάντιος** (1777) ἴδε κώδηκα ὑπεραγίας Θεοτόκου Ἐλβασανίου.
19. **Εὐθύμιος** (1782—1809) Ἴδε αὐτόθι.
20. **Σαμουὴλ** (1809—21) » »
21. **Χρύσανθος** ὁ ἐκ Μαδύτων (1821) εἷς τῶν ἐφευρετῶν τῆς νέας μεθόδου τῆς Ἐκκλ. Μουσικῆς μετατεθεὶς εἰς τὴν Μητρόπολιν Σμύρνης τῷ 1833.
22. **Γεράσιμος** (1833—37) ταφεὶς ἐν Ἐλβασανίῳ.
23. **Ἄνθιμος** ὁ ἐκ Λήμνου (1837—44) ἐν Ἐλβασανίῳ ταφείς.
24. **Ἄνθιμος ὁ Β'.** (1844) θανὼν ἐν τῇ Μονῇ Καλλίστης καὶ ταφεὶς ἐν Ἀχρίδι.

www.tezaurliturgic.ro

25. **Ἰωαννίκιος** (1845—59) εἶτα Πρεσπῶν.
26. **Γεννάδιος** (1859) ψηφισθεὶς καὶ παραιτηθείς.
27. **Αὐξέντιος** (1859) καὶ οὗτος » »
28. **Ἰωσὴφ** ὁ ἐκ Τρικάλων (1860—67) τέως Τρίκκης, θανὼν ἐν Ἐλβασανίῳ.
29. **Βησσαρίων** ὁ ἐξ Ἐλβασανίου (1867—99) ἀπὸ Κρατόβου, ταφεὶς ἐν Ἐλβασανίῳ.
30. **Προκόπιος Λαζαρίδης** Τυανεὺς (1899—1906) ἀπὸ Ἀμφιπόλεως.
31. **Ἰωάννης** Σμυρναῖος (1906—11) ἀπὸ Ξανθουπόλεως.
32. **Ἰάκωβος** Μοσχονήσιος χάριτι θείᾳ ἐκλεγεὶς τῇ 11 Φεβρουαρίου 1911 ἀπὸ Χριστουπόλεως, βοηθοῦ Ἐπισκόπου τοῦ ἀειμνήστου Σμύρνης Βασιλείου, παρ' ᾧ ἐπταετίαν ὅλην εἰργάσθη. Ἐγεννήθη τῇ 18 Ἰανουαρίου 1878.

ΣΗΜ. ΣΥΓΓΡ. Ἕτερός τις ἀνωνύμως φέρεται συνοδικῶς μέχρι τοῦ 1240.

Γρηγόριος Μητρ. Δυρραχίου ἀπὸ τοῦ 1315—27 συνοδικός. Τούτῳ «ἀπορουμένῳ περὶ τὰ χρειώδη ἡ Ἐκκλησία κατὰ λόγον ἐπιδόσεως ἐχορήγησε (ἀπρίλ. τοῦ 1316) τὴν Μητρόπολιν Σηλυβρίας χηρεύουσαν καὶ δεομένην τοῦ ἐπιστατήσοντος». (*Acta Patr. Miklosich καὶ Müller* τόμ. Α΄, σελ 49.)

ΠΑΡΟΡΑΜ. ΔΙΟΡΘ. σελ. 9, εἰς τὸ «καὶ νῦν» προελθὸν ἀντὶ προσελθόν. Σελ. 15, εἰς τὸ κάθισμα· καίοντες ἀντὶ καίοντες.